## *ΚΟΤΥΣ*

1. *Κότυς τῷ δωρησαμένῳ πάρδαλιν ἀντεδωρήσατο λέοντα.*

2. *Φύσει δ' ὢν ὀξὺς εἰς ὀργὴν καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐν ταῖς διακονίαις κολαστής, σκεύη ποτὲ κεραμεᾶ ξένου κομίσαντος εὔθραυστα καὶ λεπτά, πιθανῶς δὲ καὶ περιττῶς εἰργασμένα γλυφαῖς τισι καὶ τορείαις, τῷ μὲν ξένῳ ἔδωκε δῶρα, τὰ δὲ σκεύη πάντα συνέτριψεν, 'ὅπως' εἰπὼν 'μὴ δι' ὀργὴν πικρότερον κολάζω τοὺς συντρίβοντας.'*

## *ΙΔΑΝΘΥΡΣΟΣ*

*Ἰδάνθυρσος ὁ Σκυθῶν βασιλεύς, ἐφ' ὃν διέβη Δαρεῖος,* E
*ἔπειθε τοὺς Ἰώνων τυράννους τὸ τοῦ Ἴστρου ζεῦγμα λύσαντας ἀπαλλάττεσθαι· μὴ βουληθέντας δὲ διὰ τὴν πρὸς Δαρεῖον πίστιν ἀνδράποδα χρηστὰ καὶ ἄδραστα ἐκάλει.*

## *ΑΝΤΕΑΣ*

1. *Ἀντέας ἔγραφε πρὸς τὸν Φίλιππον 'σὺ μὲν ἄρχεις Μακεδόνων ἀνθρώποις μεμαθηκότων πολεμεῖν· ἐγὼ δὲ Σκυθῶν, οἳ καὶ λιμῷ καὶ δίψει μάχεσθαι δύνανται.'*

2. *Τοὺς δὲ πρέσβεις τοῦ Φιλίππου ψήχων τὸν ἵππον ἠρώτησεν, εἰ τοῦτο ποιεῖ Φίλιππος· τῶν δ' εἰπόντων 'οὔ' 'καὶ πῶς δύναταί' φησι 'πόλεμον ἄρασθαι κατ' ἐμοῦ;'*